*διδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,*
*σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον·*
*ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.*
*Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι*
*φέρουσ᾽ ἐς οἴκους εἴς τε δεσποίνης χέρας*
*ἔθηκαν. ἣ δὲ τὸν ἐμὸν ὠδίνων πόνον*
*μαστοῖς ὑφεῖτο καὶ πόσιν πείθει τεκεῖν.*
*ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος*
*παῖς οὑμὸς ἢ γνοὺς ἤ τινος μαθὼν πάρα*
*ἔστειχε τοὺς φύσαντας ἐκμαθεῖν θέλων*
*πρὸς δῶμα Φοίβου, Λάιός θ᾽, οὑμὸς πόσις,*
*τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν,*
*εἰ μηκέτ᾽ εἴη. καὶ ξυνάπτετον πόδα*
*εἰς ταὐτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.*
*καί νιν κελεύει Λαΐου τροχηλάτης·*
*ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.*
*ὃ δ᾽ εἷρπ᾽ ἄναυδος, μέγα φρονῶν. πῶλοι δέ νιν*
*χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.*
*ὅθεν· τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;*
*παῖς πατέρα καίνει καὶ λαβὼν ὀχήματα*
*Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ᾽ ἐπεζάρει*
*Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ᾽ οὐκ ἦν πόσις,*
*Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,*
*ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,*
*τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως* +
*μούσας ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθών·*
*ὅθεν τύραννος τῆσδε γῆς καθίσταται*
*καὶ σκῆπτρ᾽ ἔπαθλα τῆσδε λαμβάνει χθονός.*
*γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας*
*οὐδ᾽ ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.*
*τίκτω δὲ παῖδας παιδὶ δύο μὲν ἄρσενας,*
*Ἐτεοκλέα κλεινήν τε Πολυνείκους βίαν,*
*κόρας τε δισσάς· τὴν μὲν Ἰσμήνην πατὴρ*

---

34. *τεκόντας* Strabo. 36. *μαθεῖν γρ. ἰδεῖν* AB 47. *κρέων δ᾽* ABFC 50. *μούσας*] v. l. *αἴνιγμ᾽*. 52. v. l. *καὶ σκῆπτρα χώρας ἆθλα τῆσδε λαμβάνει.*